## XVIII [12B., 29D.]

*ναυηγόν με δέδορκας, ὃν οἰκτείρασα θάλασσα*
*γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο.*
*ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ᾽ ἀπέδυσε,*
*τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος.*
*κεῖνό κεν ἐνδύσαιτο καὶ εἰν Ἀίδαο φοροῖτο,*
*καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα ῥάκος.*

## XIX [11B., 28D.]

*ναυηγοῦ τάφος εἰμί, ὁ δ᾽ ἀντίον ἐστὶ γεωργοῦ·*
*ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ᾽ Ἀίδης.*

## XX [13B., 30D.]

*πλωτῆρες, σῴζοισθε καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν,*
*ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.*

## XXI [5B., 22D.]

*τὸν Νυμφῶν θεράποντα φιλόμβριον ὑγρὸν ἀοιδόν,*
*τὸν λιβάσιν κούφαις τερπόμενον βάτραχον,*
*χαλκῷ μορφώσας τις ὁδοιπόρος εὖχος ἔθηκε*
*καύματος ἐχθροτάτην δίψαν ἀκεσσάμενος·*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415776481/60 UNIVERSITÄT LEIPZIG